ἀνεγκλήτους τοὺς πολίτας· πρὸς τοὺς κρείττους· καὶ πρὸς
τοὺς εἰς ταῦτα χρησίμους· εἰς δ᾽ ἀσφάλειαν, ἁπάντων Γ
μὲν τούτων ἀναγκαῖον δύνασθαι θεωρεῖν· οὐκ ἐλάχιστον
δὲ περὶ νομοθεσίας ἐπαΐειν· ἐν γὰρ τοῖς νόμοις ἐστὶν ἡ σωτηρία
τῆς πόλεως· ὥστ᾽ ἀναγκαῖον εἰδέναι πόσα τέ ἐστι πολι-
τειῶν εἴδη· καὶ ποῖα συμφέρει ἑκάστῃ. καὶ ὑπὸ τίνων φθεί-
ρεσθαι πέφυκε· καὶ οἰκείων τῆς πολιτείας καὶ ἐναντίων·
λέγω δὲ τὸ ὑπὸ οἰκείων φθείρεσθαι. ὅτι ἔξω τῆς βελτίστης πο-
λιτείας, αἱ ἄλλαι πᾶσαι καὶ ἀνιέμεναι καὶ ἐπιτεινόμεναι
φθείρονται· οἷον δημοκρατία οὐ μόνον ἀνιεμένη ἀσθενεστέρα
γίνεται· ὥστε καὶ τέλος ἥξει εἰς ὀλιγαρχίαν. ἀλλὰ καὶ
ἐπιτεινομένη σφόδρα· ὥσπερ καὶ ἡ γρυπότης καὶ ἡ σιμότης
οὐ μόνον ἀνιέμενα ἔρχεται εἰς τὸ μέσον. ἀλλὰ σφόδρα γρυπὰ
γινόμενα ἢ σιμά, οὕτω διατίθεται ὥστε μηδὲ μυκτῆρα δοκεῖν
εἶναι· χρήσιμον δὲ πρὸς τὰς νομοθεσίας τὸ μὴ μόνον ἐπαΐειν
τίς πολιτεία συμφέρει ἐκ τῶν παρεληλυθότων θεωροῦντι· ἀλ-
λὰ καὶ τὰς παρὰ τοῖς ἄλλοις εἰδέναι· καὶ ποῖαι τοῖς ποίοις
ἁρμόττουσιν· ὥστε δῆλον ὅτι πρὸς μὲν τὴν νομοθεσίαν
αἱ τῆς γῆς περίοδοι χρήσιμοι· ἐντεῦθεν γὰρ λαβεῖν ἐστὶ τοὺς τῶν
ἐθνῶν νόμους· πρὸς δὲ τὰς πολιτικὰς συμβουλάς, τὰς
τῶν περὶ τὰς πράξεις γραφόντων ἱστορίας· ἅπαντα δὲ ταῦτα
πολιτικῆς ἀλλ᾽ οὐ ῥητορικῆς ἔργον ἐστί· περὶ ὧν μὲν οὖν
ἔχειν δεῖ τὸν μέλλοντα συμβουλεύειν τὰ μέγιστα, τοσαῦτά ἐστι·
ἐξ ὧν δὲ δεῖ καὶ περὶ τούτων καὶ περὶ τῶν ἄλλων προτρέπειν
ἢ ἀποτρέπειν, λέγωμεν πάλιν· σχεδὸν δὲ καὶ ἰδίᾳ ἑκάστῳ,
καὶ κοινῇ πᾶσι σκοπός τίς ἐστιν οὗ στοχαζόμενοι, καὶ αἱροῦνται
καὶ φεύγουσι· καὶ τοῦτ᾽ ἐστὶν ἐν κεφαλαίῳ εἰπεῖν, ἥ τε εὐδαιμο-
νία καὶ τὰ μόρια αὐτῆς· ὥστε παραδείγματος χάριν λάβωμεν
τί ἐστιν ὡς ἁπλῶς εἰπεῖν ἡ εὐδαιμονία· καὶ ἐκ τίνων τὰ μόρια

http://digital.slub-dresden.de/ppn346251060/22